αὑτὸν ἀεὶ καὶ πρὸς ἕτερον διαλέγεσθαι περὶ τοῦ ἀκούειν. ἐπεὶ
καὶ τούτῳ κακῶς τοὺς πλείστους χρωμένους ὁρῶμεν, οἳ λέγειν
ἀσκοῦσι πρὶν ἀκούειν ἐθισθῆναι· καὶ λόγων μὲν οἴονται μάθη-
σιν εἶναι καὶ μελέτην, ἀκροάσει δὲ καὶ τοὺς ὁπωσοῦν χρω-
μένους ὠφελεῖσθαι. καίτοι τοῖς μὲν σφαιρίζουσιν ἅμα τοῦ
E βαλεῖν καὶ τοῦ λαβεῖν τὴν σφαῖραν ἡ μάθησις· ἐν δὲ τῇ τοῦ
λόγου χρείᾳ τὸ δέξασθαι καλῶς τοῦ προέσθαι πρότερόν ἐστιν,
ὥσπερ τοῦ τεκεῖν τὸ συλλαβεῖν τι καὶ κατασχεῖν τῶν γονίμων.
ταῖς μὲν οὖν ὄρνισι τῆς ὑπηνεμίου λοχείας ὠδῖνας ἀτελῶν
τινων καὶ ἀψύχων ὑπολειμμάτων ἀρχὰς λέγουσιν εἶναι· τῶν
δ' ἀκούειν μὴ δυναμένων νέων μηδ' ὠφελεῖσθαι δι' ἀκοῆς
ἐθισθέντων ὑπηνέμιος ὄντως ὁ λόγος ἐκπίπτων

ἀκλειὴς ἀΐδηλος ὑπαὶ νεφέεσσι κεδάσθη.

τὰ μὲν γὰρ ἀγγεῖα πρὸς τὴν ὑποδοχὴν τῶν ἐγχεομένων ἐπι-
κλίνουσι καὶ συνεπιστρέφουσιν, ἵν' ἔγχυσις ἀληθῶς, μὴ ἔκχυσις
F γένηται, αὑτοὺς δὲ τῷ λέγοντι παρέχειν καὶ συναρμόττειν τῇ
προσοχῇ τὴν ἀκρόασιν, ὡς μηδὲν ἐκφύγῃ τῶν χρησίμως λεγο-
μένων, οὐ μανθάνουσιν, ἀλλ' ὃ πάντων καταγελαστότατόν
39 ἐστιν, ἂν μέν τινι προστύχωσι διηγουμένῳ δεῖπνον | ἢ πομπὴν
ἢ ὄνειρον ἢ λοιδορίαν γεγενημένην αὐτῷ πρὸς ἄλλον, ἀκροῶν-
ται σιωπῇ καὶ προσλιπαροῦσιν· ἂν δέ τις αὐτοὺς ἐπισπασάμε-
νος διδάσκῃ τι τῶν χρησίμων ἢ παραινῇ τῶν δεόντων ἢ
νουθετῇ πλημμελοῦντας ἢ καταπραΰνῃ χαλεπαίνοντας, οὐχ
ὑπομένουσιν, ἀλλ' ἐὰν μὲν δύνωνται, φιλοτιμούμενοι περι-
γενέσθαι διαμάχονται πρὸς τὸν λόγον· εἰ δὲ μή, φεύγοντες
ἀπίασι πρὸς ἑτέρους λόγους καὶ φλυάρους, ὡς ἀγγεῖα φαῦλα